# **Βυζαντινά** *μέτρα γῆς* **και** *σχήματα*

E. Schilbach, Byzantinische metrologische Quellen
(Dusseldorf 1970 =) Θεσσαλονίκη 1982, σελ. 59-61.

Λέγεται δὲ πρώτη μὲν ποιότης τὸ χορτοποιούμενον λιβάδιον, ὁ ὕπαρδος τόπος, τὸ παραθαλάσσιον καὶ τὸ ἐσώθυρον, δευτέρα δὲ ἡ σπειρομένη μὲν ἄνυδρος δὲ καὶ ἐξώθυρος, τρίτη ἡ νομαδιαία καὶ χερσαία. μετὰ γοῦν τοῦ αὐτοῦ σχοινίου τοῦ δεκαοργυίου ὀφείλεις μετρεῖν τὰς τρεῖς ποιότητας.

Ἔχει δὲ διαφορὰν περὶ τὰς διατιμήσεις κατά τε τὰ βασιλικὰ προστάγματα καὶ τὰ τῶν τόπων ἔθιμα·

ἤγουν τῆς μὲν πρώτης ποιότητος τῆς σπειρομένης τῷ νομίσματι μόδιον αʹ, τῆς δὲ δευτέρας τῷ νομίσματι μοδίους βʹ, καὶ τῆς τρίτης τῷ νομίσματι μοδίους γʹ ἢ κατὰ τὸ ἔθιμον τοῦ τόπου.

τοὺς δὲ παροίκους τοὺς ζευγαράτους ἀνὰ νομίσματα κδʹ χρυσᾶ, τοὺς βοϊδάτους ἀνὰ ιβʹ, καὶ τοὺς ἀκτήμονας ἀνὰ ςʹ.



Χωράφιον λεγόμενον ταῦλα. πλάτος ὀργυιὰς ιʹ, μῆκος ὀργυιὰς κʹ. εἰπὲ οὖν δεκάκις κʹ· διακόσια, καὶ ἔστι μοδίου ἑνός.




Χωράφιον τρίγωνον. τὸ τοιοῦτον ἔχει μῆκος εἰς τὰ δύο πλάγια μʹ, καὶ πλάτος κʹ. τὸ ἥμισυ τῶν μʹ· κʹ, τὸ δὲ ἥμισυ τῶν κʹ· ιʹ, καὶ εἰπέ· δεκάκις κʹ· σʹ.




Ἕτερον ἀρμενοειδές. τὸ ἥμισυ τῶν ιʹ· εʹ, τὸ ἥμισυ τῶν νʹ· κεʹ. ἐρωτῆς εʹ κʹ· ρʹ, εʹ εʹ· κεʹ, ὁμοῦ ρκεʹ, τὸ ἥμισυ τούτων· ξβʹ ο″, τοσούτων οὖν ἐστὶ μοδίων.

Ἐπὶ γὰρ τῶν ὀργυιῶν οὐ μεσάζεις τὴν ψῆφον, ἀλλ᾽ ἐπὶ τῶν σχοινίων μόνον ὥσπερ ἐνταῦθα.




Χωράφιον τὸ λεγόμενον ἀλώνιον. πλάτος νʹ, μῆκος νʹ. τὸ τοιοῦτον μετρεῖται γύρωθεν, ὁμοῦ σχοινία ρʹ, τὸ ἥμισυ τῶν ρʹ· πεντήκοντα. εἰπὲ τοῦ πλάτους σχοινία κεʹ καὶ τοῦ μήκους σχοινία κεʹ. ἐρωτῆς κʹ κʹ· τετρακόσια, εʹ κʹ· ρʹ, εʹ εʹ· κεʹ, κʹ εʹ· ρʹ, ὁμοῦ χκεʹ, τὰ ἡμίση τούτων· τιβʹ ο″.




Ἕτερον χωράφιον ὅπερ μετρεῖται σταυροειδῶς. ὁμοῦ υʹ, τὸ ἥμισυ τούτων· σʹ, ἐξ ὧν ποίησον τὰ ρʹ πλάτος καὶ τὰ ρʹ μῆκος καὶ ἐρώτα οὕτως· ρʹ ρʹ· α̈, τὸ ἥμισυ τούτων· ͵ε.




Ἕτερον χωράφιον ὁ καλλινός. τὸ τοιοῦτον χωράφιον ἔχει ὑπερβολὰς καὶ ἐλλείψεις. ἔχει μῆκος εἰς τὰ δύο πλάγια ἀνὰ κʹ καὶ τὸ πλάτος σχοινίων ιεʹ. ψήφισον οὕτως· τὸ πέμπτον τῶν ιεʹ· γʹ, ἅτινά εἰσι πλάτος, καὶ τὸ ἥμισυ τῶν μʹ· κʹ, ἅτινά εἰσι μῆκος, καὶ εἰπὲ οὕτως· γʹ κʹ· ξʹ, τὰ ἡμίση τῶν ξʹ· λʹ, τοσούτων μοδίων ἐστί.




Ἕτερον χωράφιον. ἡ κεφαλὴ σχοινία νʹ, ὁ ποὺς σχοινία οʹ, τὸ ἓν πλάγιον ρʹ καὶ τὸ ἕτερον ρʹ. ὁμοῦ τῆς κεφαλῆς καὶ τοῦ ποδὸς σχοινία ρκʹ, τὰ ἡμίση τούτων ξʹ. τὰ δύο πλάγια ἀνὰ ρʹ· σχοινίων σʹ, καὶ ταῦτα ἡμισαζόμενα· σχοινίων ρʹ. ὑπέξελε οὖν ἀπὸ τῶν ξʹ σχοινίων τῆς κεφαλῆς καὶ τοῦ ποδὸς κατὰ ιʹ σχοινία αʹ καὶ καταλιμπάνονται πεντηκοντατέσσαρα, ἀπὸ τῶν πλαγίων τῶν ρʹ σχοινίων ιʹ καὶ μένουσιν ϟʹ. καὶ εἰπέ· νʹ ϟʹ· ͵δφʹ, καὶ δʹ ϟʹ· τξʹ, ὁμοῦ σχοινία ͵δωξʹ, τὰ ἡμίση τούτων· μόδια ͵βυλʹ.




Ἕτερον. ἡ κεφαλὴ καὶ ὁ ποὺς σχοινία λεʹ, τὰ δύο πλάγια σχοινία νʹ. τὸ ἥμισυ τῶν λεʹ· ιζʹ ο″, τὸ ἥμισυ τῶν νʹ· κεʹ. ἐρωτῇ οὖν ιζʹ κεʹ· υκεʹ, τὸ ἥμισυ τῶν κεʹ· ιβʹ ο″, ὁμοῦ υλζʹ ο″, τὰ ἡμίση τούτων· σιηʹ ο″ δ″. τοσούτων οὖν μοδίων ἐστί.